# ΕΓΚΩΜΙΑ ΕΠΙΤΑΦΙΟΥ ΘΡΗΝΟΥ ΤΗΣ ΠΑΝΑΓΙΑΣ

## ΣΤΑΣΙΣ Α΄

Ἦχος πλ. δ΄. Ἡ ζωὴ ἐν τάφῳ

Ἡ ζωὴν τῶν ὅλων, τετοκυῖα Χριστόν, πρὸς ζωὴν τὴν ἀληθῆ μετατίθεται ἧς τὴν κοίμησιν ὑμνήσομεν φαιδρῶς.

Ἀπὸ γῆς μετέστης, μετὰ δόξης πολλῆς, πρὸς ζωὴν τὴν ἀτελεύτητον Ἄχραντε, οἷα Μήτηρ τοῦ τῶν ὅλων Ποιητοῦ.

Βασιλίδα ὥσπερ οὐρανοῦ καὶ τῆς γῆς, τῶν Ἀγγέλων στρατιαὶ σὲ ἀνύμνησαν, τῷ Υἱῷ σου καταπαύσασαν Ἁγνή.

Γοερεῖς ἐν θρήνοις, καὶ ἐν ὕμνοις θερμοῖς, τὸ ἀκήρατόν σου σῶμα προέπεμπον, Θεοτόκε ἐν τῷ τάφῳ οἱ πιστοί.

Δεῦτε πᾶσα τάξις, ἐξοδίους ᾠδάς, τῇ κοιμήσει τῆς Ἁγνῆς Θεομήτορος, ἀναμέλψωμεν γεραίροντες αὐτήν.

Ἐκ περάτων κόσμου, Ἀποστόλων χορός, μεταρσίως Θεοτόκε συνέδραμον ἀνυμνοῦντες τὴν μετάστασιν τὴν σήν.

Ζῇς καὶ μετὰ κόσμον, οἷα Μήτηρ ζωῆς, παρεστῶσα δεξιᾷ ὡς βασίλισσα, τοῦ ἐκλάμψαντος ἐκ μήτρας σου Ἁγνή.

Ἠγιάσθη κάλλος, τῇ ἀνόδῳ τῇ σῇ, καὶ Ἀπόστολοι ἐκήδευον Πάναγνε, θρηνῳδοῦντες σου τὸ σῶμα τὸ σεπτόν.

Θρηνῳδῶν ὁ Πέτρος, ἀνεβόα θερμῶς· Ποῦ ἀπαίρεις ἀφ᾽ ἡμῶν ὦ Πανάχραντε; πῶς ἡμᾶς ἐγκαταλείπεις ὀρφανούς;

Ἱεροῖς ἐν ὕμνοις, καὶ ὁ Παῦλος ὁμοῦ, τὸ μυστήριον τὸ σὸν ἐμεγάλυνε, τῇ σῇ κλίνῃ Θεοτόκε παρεστώς.

Κατιδὼν νεκράν σε, τὴν πηγὴν τῆς ζωῆς, Ἰωάννης ὁ θετὸς Υἱὸς Δέσποινα, δακρυρρόους ἐπαφῆκε σοι φωνάς.

Λαμπροφόροι πάντες, ἐν φωτὶ ἀρετῶν, τὴν ἁγίαν ἀνυμνήσωμεν κοίμησιν, τῆς τεκούσης τὸν Σωτῆρα καὶ Θεόν.

Μαθητῶν ὁ δῆμος, Θεοτόκε Ἁγνή, μετὰ δέους τὸ Πανάχραντον σῶμά σου ἐναπέθετο ἐν τάφῳ τῷ σεπτῷ.

Νέοι καὶ Πρεσβῦται, πᾶσα τάξις πιστῶν, ἀνυμνοῦμεν τὴν σεπτήν σου μετάστασιν, Θεοτόκε σωτηρία τῶν βροτῶν.

Ξενοτρόπως Κόρη, ἐκ τοῦ τάφου τοῦ σοῦ, μεθ' ἡμέρας τρεῖς τὸ ἄχραντον σῶμα σου, ἀνελήλυθεν εἰς δόξαν οὐρανῶν.

Ο σοφὸς ἐν λόγοις, πρόεδρος Ἀθηνῶν, Ἱερόθεος πανσόφοις ἐν ῥήμασι, Θεοτόκε ὑμνολόγει σε θερμῶς.

Πῶς ὑμνήσω Κόρη, μεγαλεῖα τὰ σά, Διονύσιος ὁ πάνυ ἐβόα σοι, παριστάμενος τῇ κλίνῃ σου Ἁγνή.

Ρεῖθρα σοι δακρύων, ὥσπερ μύρα Ἁγνή, Ἀποστόλων ὁ χορὸς θερμῶς ἔρραινε, θεασάμενος ἐν κλίνῃ σε νεκράν.

Στρατιὰς Ἀγγέλων, ὁ Υἱός σου Ἁγνή, ἐπαγόμενος λαμπρῶς σὲ ἐδέξατο, ἀνιοῦσαν ἀπὸ γῆς εἰς οὐρανόν.

Τριημέρως ὥσπερ, ὁ Υἱός Σου Ἁγνή, ἐκ τοῦ τάφου τὸ πανάχραντον σῶμα σου μετετέθη πρὸς τὴν ἄληκτον ζωήν.

Υπεράνω οὖσα, οὐρανῶν ἀληθῶς, ὡς βασίλισσα ἐπόπτευες Δέσποινα τοὺς αἰνοῦντας σου τὴν κοίμησιν φαιδρῶς.

Φωτοτόκε Κόρη, Θεοτόκε Ἁγνή, τοὺς τὴν σὴν δοξολογοῦντας μετάστασιν, σῶζε πάσης προσβολῆς φθοροποιοῦ.

Χαρμονῆς ἐπλήσθη, ὁ Θωμᾶς σε ἰδών, αἰτουμένην πρὸς τὰ ἄνω βασίλεια, καὶ ἐδέξατο τὴν ζώνην σου φαιδρῶς.

Ψάλλοντές σου Κόρη, τῇ παρούσῃ νυκτί, τὴν λαμπρὰν καὶ φωτοφόρον μετάστασιν, ἀνυμνοῦμεν τοὺς πολλούς σου οἰκτιρμούς.

Ως νεκρὰν ὑμνοῦντες, σὲ τὴν ζῶσαν ἀεί, τὴν ἀνάμνησιν τῆς σῆς μεταστάσεως, ἑορτάζομεν Παρθένε ἐν χαρᾷ.

Δόξα. Τριαδικόν.

Πάτερ Λόγε Πνεῦμα, Παναγία Τριάς, ταῖς πρεσβείαις τῆς Ἁγνῆς Θεομήτορος, τὸν λαόν σου πάσης λύτρωσαι ὀργῆς.

Καὶ νῦν. Θεοτοκίον.

Μακαρίζομέν σε, Θεοτόκε Ἁγνή, καὶ ὑμνοῦμεν τὴν ἁγίαν σου κοίμησιν, δι᾽ ἧς ἤρθης ἀπὸ γῆς εἰς οὐρανόν.

Καὶ πάλιν τὸ πρῶτον.

Η ζωὴν τῶν ὅλων, τετοκυῖα Χριστόν, πρὸς ζωὴν τὴν ἀληθῆ μετατίθεται, ἧς τὴν κοίμησιν ὑμνήσομεν φαιδρῶς.

Συναπτὴ μικρὰ καὶ ἐκφώνησις.

Ὅτι σὺ εἶ ὁ Θεός ἡμῶν, Θεὸς τοῦ ἐλεεῖν καὶ σώζειν...

## ΣΤΑΣΙΣ Β΄.

Ἦχος πλ. α΄. Ἄξιον ἐστί.

Ἄξιόν ἐστι, μεγαλύνειν σε τὴν Θεοτόκον, τὴν ἀπὸ τῆς γῆς εἰς οὐράνια, μεταστᾶσαν μετὰ δόξης θαυμαστῆς.

Ἄνω σε χοροί, τῶν Ἀγγέλων ὕμνουν Θεοτόκε, κάτω Ἀποστόλων ὁ σύλλογος, ἐλειτούργει τῇ Ἁγίᾳ σου ταφῇ.

Βλέψαντες νεκράν, οἱ Ἀπόστολοί σε Θεοτόκε, θρήνοις ἀνεβόων σοι Δέσποινα. Ποῦ τὰ τέκνα σου κατέλιπες Ἁγνή;

Γένος τῶν βροτῶν, τῇ κυήσει σου σέσωσται Κόρη, γῆ καὶ οὐρανός σὲ εὐφράνθησαν, τῇ ἐνδόξῳ σου κοιμήσει καὶ σεπτῇ.

Δάκρυσι θερμοῖς, ὅτι εἶδον σε νεκράν Παρθένε, ἔρραινον τὸ ἄχραντον σῶμα σου, οἱ Μητέρα σε γιγνώσκοντες Θεοῦ.

Ἔχαιρον χοροί, τῶν Ἀγγέλων τῇ σῇ μεταστάσει, καὶ ἐν εὐφροσύνῃ ἐβόων σοι· χαῖρε Δέσποινα ἁπάντων βασιλίς.

Ζῆς ἐν οὐρανοῖς, σὺν τῷ σῷ Υἱῷ

---

καὶ Κτίστῃ, εἰ καὶ ὡς νεκράν οἱ Ἀπόστολοι σὲ ἐκήδευσαν Παρθένε ἐπὶ γῆς.

Ηλθον θαυμαστῶς, οἱ Ἀπόστολοι ἐκ τῶν περάτων, ἐν Γεθσημανῇ ὑπὲρ ἔννοιαν καὶ παρέστησαν τῇ κλίνῃ σου Ἁγνή.

Θάνατον Ἁγνή, νόμῳ φύσεως θνητῶν θανοῦσα, πρὸς ἀθανασίας λαμπρότητα, ἀνελήλυθας ὡς πάντων βασιλίς.

Ἵνα τῆς ζωῆς, καὶ χαρᾶς τῆς τοῦ Υἱοῦ σου Κόρη, ἀπολαύῃς χαίρου-

σα ἔδραμες πρὸς αὐτὸν διὰ θανάτου ὡς θνητή.

Κλαίοντες θερμῶς, οἱ περιεστῶτες σοι Παρθένε, σὺν τοῖς Ἀποστόλοις ἐκήδευσαν, ἐν τῷ τάφῳ σοῦ τὸ σῶμα τὸ σεπτόν.

Λῆξιν οὐρανῶν, βασιλεύουσα σὺν τῷ Υἱῷ σου, γῆθεν μεταστᾶσα κατῴκησας, Χερουβὶμ δορυφορούντων σε χοροί.

Μύροις ἱεροῖς, καὶ ἐν ᾄσμασιν αἰνοῦντες Κόρη, ἐν Γεθσημανῇ σὲ κηδεύουσι, τοῦ Υἱοῦ σου οἱ Ἀπόστολοι σεπτῶς.

λεῖται ξένα, ἡ Θεογεννήτωρ μεθίσταται, μετὰ δόξης θαυμαστῆς πρὸς οὐρανόν.

Ρήμασι σεπτοῖς, οἱ τοῦ Λόγου Μαθηταὶ Παρθένε, τὸ σεπτόν σου σκῆνος συστείλαντες, ἀνεβόων σοι τὸ χαῖρε ἐν χαρᾷ.

Σύντρομοι χοροί, ὑπεδέξαντό σε τῶν Ἀγγέλων, καὶ ὁ σὸς Υἱὸς ὡς βασίλισσαν σὲ παρέστησαν Ἁγνὴ ἐκ δεξιῶν.

Τάφος ὁ σεπτός, ὃς ἐδέξατο νεκράν σε Κόρη, βρύει δαψιλῶς τὰ

Νέκρωσιν Ἁγνή, πῶς ὑπέστης ἡ ζωὴν τεκοῦσα; ἀλλὰ πρὸς ζωὴν τὴν ἀθάνατον τῷ θανάτῳ μεταβέβηκας λαμπρῶς.

Ξύλον τῆς ζωῆς, ἐκβλαστήσασα ἀγεωργήτως, ἔλυσας θανάτου τὴν δύναμιν, Θεοτόκε ὡς τεκοῦσα τὴν ζωήν.

Ορος τοῦ Θεοῦ αἰωνίων ὕπερθεν ὀρέων, ἡ Θεογεννήτωρ ἐπαίρεται, ὡς κραυγάζει ὁ Προφήτης ἐμφανῶς.

Πόλις τοῦ Θεοῦ, περὶ ἧς ἀεὶ λα-

ἰάματα, τοῖς ἐν τούτῳ προσιοῦσιν εὐλαβῶς.

Υμνους ἱερούς, δεῦτε ᾄσωμεν τῇ Θεοτόκῳ, χαῖρε πρὸς αὐτὴν ἀνακράζοντες, χαῖρε Δέσποινα τοῦ Κόσμου ἡ χαρά.

Φρίττει ὁ ἐχθρός, τὸ σὸν μέγα ὄνομα Παρθένε, καὶ ἡμεῖς ὁρῶντες βοῶμεν σοι· Παναγία σῶζε πάντοτε ἡμᾶς.

Χάρισαι ἡμῖν, ὡς ἐλπὶς ἡμῶν καὶ προστασία, χάριν καὶ εἰρήνην καὶ ἔλεος Θεοτόκε σωτηρία τῶν πιστῶν.

Ψάλλομέν Σοι οὖν, μελῳδήματα καρπὸν χειλέων, καὶ ὑμνολογοῦμεν τὴν δόξαν σου, μεγαλύνοντες τὸν τόκον σου, Ἁγνή.

Ὥσπερ οὖν ἡμεῖς, τῆς καρδίας κλίνομέν σοι γόνυ, οὕτω καὶ αὐτὴ πρὸς ἡμᾶς τὸ οὖς, κλῖνον, Δέσποινα, τοὺς σοὺς θεραπευτάς.

**Δόξα.** Τριαδικόν.

Ἄναρχε Τριάς, ὁμοούσιε σύνθρονε φύσις, ταῖς τῆς Θεοτόκου ἐντεύξεσιν τὰ ἐλέη σου κατάπεμψον ἡμῖν.

---

**Καὶ νῦν.** Θεοτοκίον.

Μόνη τὸν Θεόν, ὑπὲρ ἔννοιαν σαρκὶ τεκοῦσα, τοὺς τὴν σὴν ὑμνοῦντας μετάστασιν Θεοτόκε διαφύλαττε ἀεί.

Καὶ πάλιν τὸ πρῶτον.

Ἄξιόν ἐστι, μεγαλύνειν σε τὴν Θεοτόκον, τὴν ἀπὸ τῆς γῆς εἰς οὐράνια, μεταστᾶσαν μετὰ δόξης θαυμαστῆς.

Συναπτὴ μικρὰ καὶ ἐκφώνησις

Ὅτι ἅγιος εἶ ὁ Θεὸς ἡμῶν, ὁ ἐπὶ θρόνου δόξης τῶν Χερουβὶμ ἐπαναπαυόμενος, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

καὶ αὖθις θυμιᾷ ὁ Ἱερεύς.

* * *

---

## ΣΤΑΣΙΣ Γ΄

Ἦχος γ΄. Αἱ γενεαὶ πᾶσαι.

Αἱ γενεαὶ πᾶσαι, ὕμνον τῇ ταφῇ σου, προσφέρουσι Παρθένε. *(Δίς).*

Ἄνω τῶν Ἀγγέλων, καὶ κάτω τῶν ἀνθρώπων, αἱ τάξεις σὲ ὑμνοῦσι.

Βλέψον Θεοτόκε, ἡμᾶς τοὺς τὴν λαμπράν σου μετάστασιν αἰνοῦντας.

Γλώσσῃ Θεολήπτῳ, Ἀπόστολοι προσῇδον, τῇ σῇ κοιμήσει αἶνον.

Δεῦρο πᾶσα κτίσις, ἐπιταφίους ὕμνους, ᾄσωμεν τῇ Παρθένῳ.

Ἐκ περάτων ἦλθον, Ἀπόστολοι κηδεῦσαι, τὸ ἄχραντόν σου σῶμα.

Ζῶσον δυναστείαν, ἡμᾶς κατ' ἐναντίων, ἐχθρῶν θεογεννῆτορ.

Ἧκεν οὐρανόθεν, ὁ σὸς Υἱὸς Παρθένε, λαβεῖν σε μετὰ δόξης.

Θάνατον ὑπέστης, ἀλλὰ πρὸς ἀφθαρσίαν, μετέστης μετὰ δόξης.

Ἴδε συμπαθείας, ἐν ὄμματι Παρθένε, τοὺς πρὸς σὲ ἀφορῶντας.

---

Κλίνη ὡς κατεῖδον, Ἀπόστολοί σε ἄπνουν, ἐθρήνουν εὐσχημόνως.

Λύτρωσιν κινδύνων, δίδου ὦ Θεομῆτορ, τοῖς σὲ ὑμνολογοῦσι.

Μύροις σου τὸν τάφον, Ἀπόστολοι ὡς ἄλλαι, ἔρραναν Μυροφόροι.

Νέκρωσιν ὑπέστης, ἡ νεκρωτὴν τοῦ Ἅδου, τεκοῦσα παραδόξως.

Ξένον θαῦμα ὤφθη, πᾶσης ζωῆς ἡ Μήτηρ, ἐν τάφῳ κατετέθη.

Ὅλη φωτοφόρος, τῷ σῷ Υἱῷ παρέστης, Παρθένε Θεοτόκε.

Πρὸς τὸν Υἱόν ἀνῆλθες, μετὰ τοῦ σώματός σου, τρεῖς μεθ' ἡμέρας Κόρη.

Ῥαίνουσι δακρύων, τὸ σῶμα σου Παρθένε, οἱ εὐσεβεῖς λιβάσι.

Σῶμά σου τὸ Θεῖον, κηδεύουσι Παρθένε, Ἀπόστολοι θρηνοῦντες.

Τάξεις Ἀσωμάτων, ἐξίστανται ὁρῶσαι, τὴν ἄφραστόν σου δόξαν.

---

Ὕπερθεν Παρθένε, τὸν εὐσεβῆ λαόν σου, σκέπασον τῇ σῇ σκέπῃ.

Φύλαττε ἀτρώτους, τῇ κραταιᾷ χειρί σου, ἡμᾶς Θεογεννῆτορ.

Χαίρει πᾶσα κτίσις, τὴν κοίμησίν σου Κόρη, αἰνοῦσα γηθοσύνως.

Ψάλλοντες Παρθένε, ἐξόδιόν σοι ὕμνον, τύχοιμεν σῶν χαρίτων.

Ὢς ἐλέους Μήτηρ, μὴ παύσῃ Θεοτόκε, ἡμᾶς περισκοποῦσα.

Ἔρραναν τὸν τάφον, Ἀπόστολοι.
ἐν μύροις, ὡς ἄλλαι Μυροφόροι.

(Τοῦτο ἐπαναλαμβάνεται πολλάκις ἕως οὗ ῥανεῖ ὁ Πρωθιερεὺς διὰ ῥοδοστάγματος τὸν λαόν).

**Δόξα.** Τριαδικόν.

Ὢ Τριὰς Ἁγία, ἐλέησον τὸν κόσμον, λιταῖς τῆς Θεοτόκου.

**Καὶ νῦν.** Θεοτοκίον.

Χαῖρε Θεοτόκε, ἡμῶν ἡ προστασία, καὶ κόσμου σωτηρία.

Εὐλογημένη Δέσποινα, σκέπε πάντας τοὺς σὲ ὑμνολογοῦντας.

Λίαν ταχύ, ἐκ περάτων ἔδραμον, οἱ Ἀπόστολοι αἰθεροδρόμως, καὶ ἐν θρήνοις πρὸς σὲ Πάναγνε θερμοῖς ἐβόων· Ποῦ λείπεις ἡμᾶς Παναγία Δέσποινα, ἀλλ' ἐξ ὕψους Ἁγνή, σκέπε κόσμον ἅπαντα.

Εὐλογημένη Δέσποινα, σκέπε πάντας τοὺς σὲ ὑμνολογοῦντας.

Μυροφόροι καθάπερ, οἱ Ἀπόστολοι Κόρη, πρὸς τὸ μνῆμα σοῦ προσκαρτεροῦντες, μαθόντες δὲ

Καὶ πάλιν τὸ πρῶτον.

Αἱ γενεαὶ πᾶσαι, ὕμνον τῇ ταφῇ σου, προσφέρουσι Παρθένε.

Συναπτὴ μικρὰ καὶ ἐκφώνησις.

Σὺ γὰρ εἶ ὁ Ἰατρὸς τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εἶτα τὰ Εὐλογητάρια.

Εὐλογημένη Δέσποινα, σκέπε πάντας τοὺς σὲ ὑμνολογοῦντας.

Τῶν Ἀγγέλων ὁ δῆμος, κατεπλάγη νεκράν σε κατιδὼν Θεοτόκε, τοῦ θανάτου δὲ Ἁγνή, τὴν ἰσχὺν παρελθοῦσαν, καὶ σὺν τῇ σαρκί, πρὸς τὰ ἄνω βαίνουσαν, καὶ τὴν δόξαν τὴν σήν, ὕμνουν ἀγαλλόμενοι.

Εὐλογημένη Δέσποινα, σκέπε πάντας τοὺς σὲ ὑμνολογοῦντας.

Τί ἐν μύροις, συμπαθῶς καὶ δάκρυσιν, ὦ Μαθήτριαι Κυρίου, τῆς Παρθένου, νῦν τὸν τάφον ῥαίνετε, ἐπ' αὐτὴν θρηνοῦσαι εὐσχημόνως· Ἴδετε, τὸν τάφον, καὶ ἤσθητε· ἡ Ἁγνὴ γάρ, τῷ Υἱῷ ἀνέδραμε.

χαρμονὴν δὲ τῇ Εὔα, ἀντὶ λύπης παρέσχες· ρεύσαντα ζωῆς, ἴθυνε πρὸς ταύτην δὲ, ὁ ἐκ σοῦ σαρκωθεὶς Θεὸς καὶ ἄνθρωπος.

Ἀλληλούϊα, Ἀλληλούϊα, Ἀλληλούϊα δόξα σοι ὁ Θεός *(ἐκ γ΄)*.

Συναπτὴ μικρὰ καὶ ἐκφώνησις.

Ὅτι ηὐλόγηταί σου τὸ ὄνομα, καὶ δεδόξασταί σου ἡ βασιλεία, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἁγνή, τοῦ σεπτοῦ σώματός σου, τὴν πρὸς οὐρανόν, νεύσει Θεία ἔγερσιν, τὴν πολλήν σου, δόξαν ἐμεγάλυνον.

**Δόξα.** Τριαδικόν.

Προσκυνοῦμεν Πατέρα, καὶ τὸν τούτου Υἱόν τε, καὶ τὸν Ἅγιον Πνεῦμα, τὴν Ἁγίαν Τριάδα, ἐν μιᾷ τῇ οὐσίᾳ, σὺν τοῖς Σεραφεὶμ κράζοντες τὸ Ἅγιος Ἅγιος Ἅγιος εἶ Κύριε.

**Καὶ νῦν.** Θεοτοκίον.

Ζωοδότην τεκοῦσα, ἐλυτρώσω Παρθένε, τὸν Ἀδὰμ ἁμαρτίαις,

Ἐξαποστειλάριον.

Ἀπόστολοι ἐκ περάτων, συναθροισθέντες ἐνθάδε, Γεθσημανῇ τῷ χωρίῳ, κηδεύσατέ μου τὸ σῶμα· καὶ σὺ Υἱὲ καὶ Θεέ μου παράλαβέ μου τὸν πνεῦμα.

Ὁ Πρωθιερεύς· Νῦν ἀπολύεις τὸν δοῦλον Σου Δέσποτα...

Ὁ Ἀναγνώστης· Τὸ Τρισάγιον.

Ὁ Ἱερεύς: Ὅτι σοῦ ἐστὶν ἡ βασιλεία καὶ ἡ δύναμις...

Ὁ Χορός·

---

Τὸ Ἀπολυτίκιον

Ἐν τῇ γεννήσει τῇς Παρθενίαν ἐφύλαξας, ἐν τῇ Κοιμήσει τὸν κόσμον οὐ κατέλιπες Θεοτόκε, Μετέστης πρὸς τὴν ζωήν, μήτηρ ὑπάρχουσα τῆς ζωῆς καὶ ταῖς πρεσβείαις ταῖς σαῖς λυτρουμένη, ἐκ θανάτου τὰς ψυχὰς ἡμῶν *(Τρίς)*.

Ἕπεται ἡ Εὐλόγησις τῶν ἄρτων.

## ΑΠΟΛΥΣΙΣ